# IL TESTO DEL CERTAMEN

## Dalla concisione alla prolissità

Ἔστι τοίνυν τρία γένη τῶν πρὸς τὰς ἐρωτήσεις ἀποκρίσεων, τὸ μὲν ἀναγκαῖον, τὸ δὲ φιλάνθρωπον, τὸ δὲ περισσόν. Οἷον πυθομένου τινὸς εἰ Σωκράτης ἔνδον, ὁ μὲν ὥσπερ ἄκων καὶ ἀπροθύμως ἀποκρίνεται τὸ «οὐκ ἔνδον», ἐὰν δὲ βούληται λακωνίζειν, καὶ τὸ «ἔνδον» ἀφελὼν αὐτὴν μόνην φθέγξεται τὴν ἀπόφασιν· ὡς ἐκεῖνοι, Φιλίππου γράψαντος εἰ δέχονται τῇ πόλει αὐτόν, εἰς χάρτην «οὐ» μέγα γράψαντες ἀπέστειλαν. Ὁ δὲ φιλανθρωπότερον ἀποκρίνεται· «Οὐκ ἔνδον, ἀλλ' ἐπὶ ταῖς τραπέζαις», κἂν βούληται προσεπιμετρῆσαι, «ξένους τινὰς ἐκεῖ περιμένων». Ὁ δὲ περιττὸς καὶ ἀδολέσχης, ἄν γε δὴ τύχῃ καὶ τὸν Κολοφώνιον ἀνεγνωκὼς Ἀντίμαχον, «Οὐκ ἔνδον, φησίν, ἀλλ' ἐπὶ ταῖς τραπέζαις, ξένους ἀναμένων Ἴωνας, ὑπὲρ ὧν αὐτῷ γέγραφεν Ἀλκιβιάδης περὶ Μίλητον ὢν καὶ παρὰ Τισσαφέρνῃ διατρίβων, τῷ τοῦ μεγάλου σατράπῃ βασιλέως, ὃς πάλαι μὲν ἐβοήθει Λακεδαιμονίοις, νῦν δὲ προστίθεται δι' Ἀλκιβιάδην Ἀθηναίοις· ὁ γὰρ Ἀλκιβιάδης ἐπιθυμῶν κατελθεῖν εἰς τὴν πατρίδα τὸν Τισσαφέρνην μετατίθησι», καὶ ὅλως τὴν ὀγδόην Θουκυδίδου κατατεινάμενος ἐρεῖ καὶ κατακλύσει τὸν ἄνθρωπον, ἕως φθάσει καὶ Μίλητος ἐκπολεμωθεῖσα καὶ φυγαδευθεὶς τὸ δεύτερον Ἀλκιβιάδης.

Μάλιστα δὴ περὶ τοῦτο δεῖ τὴν ἀδολεσχίαν συνέχειν ὥσπερ εἰς ἴχνος ἐμβιβάζοντα τὴν ἐρώτησιν καὶ κέντρῳ καὶ διαστήματι τῇ χρείᾳ τοῦ πυνθανομένου περιγράψαντα τὴν ἀπόκρισιν.

PLUTARCO, *De garrulitate*

## Rispondi alle seguenti domande:

1. Riassumi e commenta brevemente il contenuto del brano proposto.
2. Il brano è tratto dal *De garrulitate* (*Moralia*) di Plutarco: secondo te, a quale dei gruppi in cui generalmente sono suddivisi i *Moralia* (dal punto di vista tematico e formale) appartiene questo scritto? Con l'opera di quale altro autore si può confrontare?
3. Socrate e Alcibiade, due illustri ateniesi: che cosa sai di loro e del loro rapporto?
4. Analizza la sintassi del testo, soffermandoti sull'uso dei tempi.
5. Sottolinea qualche costrutto poco frequente.
6. Confronta il mondo della conversazione interpersonale presente nel brano e quello attuale delle comunicazioni e dei mass-media.
7. Trovi qualcosa di ancora valido in queste riflessioni?